eul_wid: daw-ag

*Ἀριστοφάνης ὁ Ἀθηναῖος* · Aristophanes of Athens

# Domestic and Market Scenes

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 2 Ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω Ἀπαξάπανθ' ὅς' ἂν κελεύῃς, ὦ γύναι.
book 3 Ὅπερ δὲ λοιπὸν μόνον ἔτ' ἦν ἐν τῇ γνάθῳ Διώβολον, γεγένητ' ἐμοὶ δικόλλυβον.
book 4 Δοῖδυξ, θυΐα, τυρόκνηστις, ἐσχάρα.
book 5.1 Καὶ μὴν τὸ δεῖν', ἀκροκώλια δή σοι τέτταρα ἥψησα
book 5.2 τακερά.
book 6.1 Τῶν δὲ γηθύων ῥίζας, ἐχούσας
book 6.2 σκοροδομίμητον φύσιν.
book 7 Ἥκω Θεαρίωνος ἀρτοπώλιον λιπών, ἵν' ἐστὶ κριβάνων ἑδώλια.
book 8 Καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.
book 9 Κοιτὼν ἁπάσαις εἷς, πύελος δὲ μί' ἀρκέσει.
book 10 Καὶ διαστίλβονθ' ὁρῶμεν ὥσπερ ἐν καινῷ λυχνούχῳ πάντα τῆς ἐξωμίδος.
book 11.1 Οὐκ ἐτός, ὦ γυναῖκες, πᾶσι κακοῖσιν ἡμᾶς
book 11.2 φλῶσιν ἑκάστοτ' ἄνδρες; Δεινὰ γὰρ ἔργα δρῶσαιλαμβανόμεσθ' ὑπ' αὐτῶν.
book 12 Καὶ δι' ὀπῆς κἀπὶ τέγους.
book 1 Γύναι τί τὸ ψοφῆσάν ἐσθ'; ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν. Οἰμώζουσά γε.
book 2 Ἔπειτ' ἔρειξον ἐπιβαλοῦς' ὁμοῦ πίσοις.
book 3.1 Ὅστις
book 3.2 φακῆν ἥδιστον ὄψων λοιδορεῖς.
book 4 Πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;
book 5 Λαμπτρεὺς ἔγωγε τῶν κάτω.
book 6 Νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ;
book 7 Ἀλλ' ὦ θύγατερ, ἔλεξ' Ἰασοῖ πρευμενής.
book 8.1 Ὀσφὺν δ' ἐξ ἄκρων διακίγκλισον ἠΰτε κίγκλος ἀνδρὸς
book 8.2 πρεσβύτου· τελέειν δ' ἀγαθὴν ἐπαοιδήν.
book 11.1 Καὶ τοὺς μὲν ὄφεις, οὓς ἐπιπέμπεις, ἐν κίστῃ που κατασήμηναι καὶ παῦσαι

book 11.2 φαρμακοπωλῶν.

book 14.1 Καὶ νὴ Δί’ ἐκ

book 14.2 τοῦ δωματίου γε νῷν φέρε κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

book 15.1 Ταυτὶ τὰ κρέ’ αὐτῷ παρὰ γυναικός

book 15.2 του φέρω.

book 17 Ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ.

book 18.1 Οἶδα μὲν ἀρχαῖόν

book 18.2 τι δρῶν κοὐχὶ λέληθ’ ἐμαυτόν.

book 19 Ἀφ’ οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων.

book 1-2 Μὴ κλᾶ’. ἐγώ σοι βουκέφαλον ὠνήσομαι. Ψῆχ’ ἠρέμα τὸν βουκέφαλον καὶ κοππατίαν.

book 3 Ὡς δ’ ὀρθοπλήξ. πέφυκε γὰρ δυσγάργαλις.

book 7.1 Πρὸς θεῶν, ἔραμαι τέττιγα

book 7.2 φαγεῖν καὶ κερκώπην θηρευσαμένη καλάμῳ λεπτῷ.

book 8 Οὐχ ἑψητῶν λοπάς ἐστιν.

book 9 Εἰ μὴ παραμυθεῖ μ’ ὀψαρίοις ἑκάστοτε.

book 10 Πλὴν ἀλεύρου καὶ ῥόας.

book 11.1 Καὶ μὴν

book 11.2 χθές γ’ ἦν Πέρδιξ

book 11.3 χωλός.

book 13 Καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ’ αὖ.

book 14.1 Ὅρμου

book 14.2 παρόντος τὴν ἀτραπὸν κατερρύην.

book 15.1 Ἐν τῷ στόματι

book 15.2 τριημιωβόλιον ἔχων.

book 16.1 Τοῦτ’ αὐτὸ πράττω, δύ’ ὀβολὼ καὶ σύμβολον ὑπὸ τῷ ’πικλίντρῳ. Μῶν

book 16.2 τις αὔτ’ ἀνείλετο;

book 17.1 Καὶ μὴν

book 17.2 σκάφη ’σθ’, ὡς ἄν

book 17.3 τι ᾖ σπονδεῖον, ᾧ ’νεμοῦμεν.

book 18.1 Ἐκ δὲ τῆς ἐμῆς

book 18.2 χλανίδος

book 18.3 τρεῖς ἁπληγίδας

book 18.4 ποιῶν.

book 19.1 Ἀλλὰ πάντας

book 19.2 χρὴ παραλοῦσθαι, καὶ τοὺς

book 19.3 σπόγγους ἐᾶν.

book 1 Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.

book 2.1 Σαμίων ὁ δῆμός ἐστιν· ὡς

book 2.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυγράμματος.

book 4-6.1 Ἀνὴρ

book 4-6.2 πεδήτης ἰτέαν ἐνημμένος.

book 7 Ἦ που κατὰ στοίχους κεκράξονταί τι βαρβαριστί.

book 8 Ἵστασθ’ ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

book 9-10.1 Κατάγου ῥοθιάζων. ναῦς ὅταν ἐκ

book 9-10.2 πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ.

book 11 Εὖ γ’ ἐξεκολύμβης’ οὑπιβάτης, ὡς ἐξοίσων ἐπίγειον.

book 15 Ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

book 15a.1 Ἀνήρ

book 15a.2 τις ἡμῖν ἐστιν ἐγκινούμενος.

book 18.1 Δεῖ διακοσίων δραχμῶν. Πόθεν οὖν γένοιντ’ ἄν; Τὸν κότυλον

book 18.2 τοῦτον φέρε.

book 19-20.1 Πόσους ἔχει

book 19-20.2 στρωτῆρας ἀνδρὼν οὑτοσί; Ὡς εὖ καλυμματίοις τὸν οἶκον ἤρεφεν.

book 21.1 Μέσην ἔρειδε

book 21.2 πρὸς τὸ σιμόν.

book 22.1 Ἐννεύει με

book 22.2 φεύγειν οἴκαδε.

book 23 Εἰς ἄχυρα καὶ χνοῦν.

book 26.1 Ἢ δῶρ’ αἰτῶν ἀρχὴν

book 26.2 πολέμου μετὰ Πεισάνδρου

book 26.3 πορίσειεν.

book 27.1 Ἢ βοιδαρίων

book 27.2 τις ἀπέκτεινε ζεῦγος

book 27.3 χολίκων ἐπιθυμῶν.

book 1.1 Ἐθέλω γεωργεῖν. εἶτα τίς με κωλύει; ἡμεῖς. ἐπεὶ δίδωμι

book 1.2 χιλίας δραχμάς, ἐάν με τῶν ἀρχῶν ἀφῆτε. δεχόμεθα· δισχίλιαι γάρ εἰσι σὺν

book 1.3 ταῖς Νικίου.

book 2.1 Συκᾶς

book 2.2 φυτεύω πάντα

book 2.3 πλὴν Λακωνικῆς. τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν. οὐ γὰρ ἦν ἂν μικρόν, εἰ μὴ μισόδημον ἦν

book 2.4 σφόδρα.

book 7.1 Τί δῆτα

book 7.2 τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

book 8.1 Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν, εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο

book 8.2 σκάψαι κἀποκλάσαι

book 8.3 τε καὶ λουσαμένῳ διελκύσαι τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 8.4 τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι.

book 9 Ὅ του δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει; Ἐμοὶ μὲν αἴνειν μολγόν· οὐκ ἀκήκοας;

book 10.1 Εἶτ’ ἄρτον ὀπτῶν

book 10.2 τυγχάνει

book 10.3 τις ὀβελίαν.

book 11.1 Ὥσπερ κυλικείου

book 11.2 τοὐθόνιον

book 11.3 προπέπταται.

book 12 Εἴ γ’ ἐγκιλικίσαιμ’, ἐξολοίμην, φαθὶ λέγων.

book 13-14.1 Ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική, χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς

book 13-14.2 χθονός. Ἐν ἀγορᾷ δ’ αὖ πλάτανον εὖ διαφυτεύσομεν.

book 15.1 Ἐξ ἄστεως νῦν εἰς ἀγρὸν

book 15.2 χωρῶμεν· ὡς πάλαι δή ἡμᾶς ἔδει τῷ χαλκίῳ λελουμένους

book 15.3 σχολάζειν.

book 16 Λάχητας, Μεγακλέας καὶ Λαμάχους.

book 1.1 Ὀφθαλμιάσας πέρυσιν εἶτ’ ἔσχον κακῶς, ἔπειθ’ ὑπαλειφόμενος

book 1.2 παρ’ ἰατρῷ.

book 2 Τουτὶ τί ἦν τὸ πρᾶγμα; Θερμούς, ὦ τέκνον. Ἀλλ’ ἦ παραφρονεῖς; Κριβανίτας, ὦ τέκνον.

book 3.1 Ὁ δὲ μεθύων ἤμει

book 3.2 παρὰ τοὺς ἀρχηγέτας.

book 4.1 Ἐπὶ τοῦ περιδρόμου

book 4.2 στᾶσα τῆς

book 4.3 συνοικίας.

book 5.1 Ὦ πρεσβῦτα πότερα

book 5.2 φιλεῖς τὰς δρυπετεῖς ἑταίρας ἢ σὺ τὰς ὑποπαρθένους, ἁλμάδας ὡς ἐλάας, στιφράς;

book 6 Λόρδου κιγκλοβάταν ῥυθμόν.

book 7 Ἀποπλευστέ’ οὖν ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι τήμερον.

book 8.1 Ἔδει δέ γέ ς’ ἐκβληθεῖσαν εἰς Ἁλμυρίδας γυναικὶ τῃδὶ μὴ παρέχειν

book 8.2 σε πράγματα.

book 9 Σὺ δ’ οὐκ ἐγήμω; Νὴ Δί’, ὀλίγας ἡμέρας.

book 10-12 Πτωχικοῦ βακτηρίου. Βακτηρία δὲ Περσὶς ἀντὶ καμπύλης.

book 13 Κοπίδι τῶν μαγειρικῶν.

book 14.1 Ἐγὼ δ’ ἀπολοπίζειν

book 14.2 τε κᾆτ’ ἐπ’ ἀνθράκων.

book 15.1 Ὑδρίαν δανείζειν

book 15.2 πεντέχουν ἢ μείζονα.

book 16.1 Ταῖς

book 16.2 πολιόχρωσι βεμβράσιν

book 16.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεθραμμένη.

book 17.1 Ὀξωτά, σιλφιωτά, βολβός, τεύτλιον, ὑπότριμμα, θρῖον, ἐγκέφαλον, ὀρίγανον, καταπυγοσύνη

book 17.2 ταῦτ’ ἐστὶ πρὸς κρέας μέγα.

book 18.1 Τίς ἂν

book 18.2 φράσειε

book 18.3 ποῦ ’στι τὸ Διονύσιον; ὅπου τὰ μορμολυκεῖα

book 18.4 προσκρεμάννυται.

book 19 Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ’ἔχοντα.

book 1-2.1 Καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας ἔτλη κατελθεῖν; ἕν’ ἀφ’ ἑκάστης τῆς τέχνης εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας, οὓς ᾔσμεν ὄντας ᾀδοφοίτας καὶ θαμὰἐκεῖσε

book 1-2.2 φιλοχωροῦντας. εἰσὶ γάρ

book 1-2.3 τινες ἄνδρες

book 1-2.4 παρ’ ὑμῖν ᾀδοφοῖται; νὴ Δία μάλιστά γ’. ὥσπερ Θρᾳκοφοῖται; πάντ’ ἔχεις. καὶ τίνες ἂν εἶεν; πρῶτα μὲν

book 1-2.5 Σαννυρίων ἀπὸ τῶν

book 1-2.6 τρυγῳδῶν, ἀπὸ δὲ τῶν

book 1-2.7 τραγικῶν

book 1-2.8 χορῶνΜέλητος, ἀπὸ δὲ τῶν κυκλίων Κινησίας.

book 1-2.1 * * * * Ὡς

book 1-2.2 σφόδρ’ ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ’ ἄρα. τούτους γὰρ ἢν

book 1-2.3 πολλῷ ξυνέλθῃ ξυλλαβὼν ὁ τῆς διαρροίας

book 1-2.4 ποταμὸς οἰχήσεται.

book 3 Τὴν μάλθαν ἐκ τῶν γραμματείων ἤσθιον.

book 4 Ἆρ’ ἔνδον ἀνδρῶν κεστρέων ἀποικία; ὡς μὲν γάρ εἰσι νήστιδες, γιγνώσκεται.

book 5 Πόλος τόδ’ ἐστίν; εἶτα πόστην ἥλιος τέτραπται;

book 6 Ἀκροκώλι’, ἄρτοι, κάραβοι, βολβοί, φακῆ.

book 7 Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν;

book 8 Θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.

book 9 Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ’ ἂν ῥήματα; εἰς ὄξος ἐμβαπτόμενος ἢ ξηροὺς ἅλας.

book 10.1 Ἐν

book 10.2 τοῖσι

book 10.3 συνδείπνοις ἐπαινῶν Αἰσχύλον.

book 11 Ἥκω Θεαρίωνος ἀρτοπώλιον λιπών, ἵν’ ἐστὶ κριβάνων ἑδώλια.

book 14 Χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.

book 15.1 Ψίθυρός

book 15.2 τε καλοῦ καὶ ψωμοκόλαξ.

book 16 Τότε μὲν (Διόνυσέ) σου κατεκοττάβιζον (ἄν), νυνὶ δέ σου κατεμοῦσι, τάχα δ’ εὖ οἶδ’ ὅτι καὶ καταχέσονται.

book 17 Φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

book 1 Εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία.

book 3.1 Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του

book 3.2 τρόπου ὥσπερ

book 3.3 παροψὶς μοιχὸς ἐσκευασμένος.

book 4-5 Ὠιὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών. Ἓν ἴστε· πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

book 6-8.1 Καὶ ταῦτ’ ἔχοντα

book 6-8.2 πουλύπους καὶ σηπίας Τὸν

book 6-8.3 πουλύπουν μοὔθηκε. Πληγαὶ λέγονται

book 6-8.4 πουλύπου

book 6-8.5 πιλουμένου.

book 9.1 Ὁ μηχανοποιός, ὁπότε βούλει τὸν

book 9.2 τροχὸν ἐλᾶν ἀνεκάς, λέγε, χαῖρε φέγγος ἡλίου.

book 10.1 Περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐστι; περὶ ὄνου

book 10.2 σκιᾶς.

book 1.1 Καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια

book 1.2 πτερόεντα.

book 2.1 Ἐγὼ δ’ ἰὼν πέψω

book 2.2 πλακοῦντ’ ἐς ἑσπέραν

book 2.3 χαρίσιον.

book 3.1 Φέρ’ ἴδω, τί σοι δῶ τῶν μύρων; ψάγδαν

book 3.2 φιλεῖς;

book 4-5.1 Τῆς μυρηρᾶς ληκύθου

book 4-5.2 πρὶν κατελάσαι τὴν

book 4-5.3 σπαθίδα, γεύσασθαι μύρου.

book 6.1 Ταχύ νυν

book 6.2 ποτὸν καὶ μὴ τροπίαν οἶνον φέρε.

book 7.1 Οὐκ ἀλλὰ τοῦτό γ’ ἐπίχυσις

book 7.2 τοῦ χαλκίου.

book 8 Κἄγειν ἐκεῖθεν κακκάβην.

book 9.1 Ἐπιδείπνιον βασιλεὺς θέαν

book 9.2 τοῖς δαιταλεῦσιν, ὥσπερ ἄξιον λόγον, χαριζόμενος τὸ δρᾶμα

book 9.3 τοῦτ’ ἐδείκνυεν.

book 10 Ἢ χόνδρον ἕψων εἶτα μυῖαν ἐμβαλὼν ἐδίδου ῥοφεῖν ἄν.

book 11.1 Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον

book 11.2 τουτονὶ πλύνων ἅπασιν ὅσα σύνοιδ’ αὐτῷ κακά.

book 12.1 Τί δαί; κυνίδιον λεπτὸν ἐπρίω τῇ θεᾷ εἰς τὰς

book 12.2 τριόδους;

book 13.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἆισον δή μοι

book 13.2 σκόλιόν

book 13.3 τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

book 14 Ὦ πορνεία καὶ ἀναιδεία.

book 15.1 Πρὸς

book 15.2 ταῦτα σὺ λέξον Ὁμήρου ἐμοὶ γλώττας, τί κα-λοῦσι κόρυμβα; Τί καλοῦς’ ἀμενηνὰ κάρηνα; Ὁ μὲν οὖν σός, ἐμὸς δ’ οὗτος ἀδελφὸς

book 15.3 φρασάτω, τίκαλοῦσιν ἰδυίους; Τί καλοῦσιν ἀποινᾶν;

book 16.1 Ἀλλ’ εἶ σορέλλη καὶ μύρον καὶ ταινίαι. Ἰδού, σορέλλη

book 16.2 τοῦτο

book 16.3 παρὰ Λυσιστράτου. Ἡμῶν ἴσως σὺ καταπλιγήσει τῷ χορῷ. Τὸ καταπλιγήσει

book 16.4 τοῦτο

book 16.5 παρὰ τῶν ῥητόρων.Ἀποβύσεταί σοι

book 16.6 ταῦτά πη τὰ ῥήματα. Παρ’ Ἀλκιβιάδου

book 16.7 τοῦτο τἀποβύσεται. Τί ὑποτεκμαίρει καὶ κακῶς ἄνδρας λέγεις καλοκαγαθεῖν ἀσκοῦντας; Οἴμ’, ὦ Θρασύμαχε, τίς

book 16.8 τοῦτο τῶν ξυνηγόρων

book 16.9 τερθρεύεται;

book 17.1 Ὅστις αὐλοῖς καὶ λύραισι κατατέτριμμαι

book 17.2 χρώμενος εἶτά με

book 17.3 σκάπτειν κελεύεις;

book 18.1 Ἔγνωκ’ ἐγὼ δὲ χαλκίον

book 18.2 τοῦτό γ’ ἐς τὸ κοτταβεῖον ἱστάναι καὶ μυρρίνας.

book 19.1 Ἀλλ’ οὐ γὰρ ἔμαθε

book 19.2 ταῦτ’ ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον πίνειν, ἔπειτ’ ᾄδειν κακῶς, Συρακοσίαν

book 19.3 τράπεζαν, Συβαρίτιδάς τ’ εὐωχίας καὶ Χῖον ἐκ Λακαινᾶν.

book 20.1 Καὶ λεῖος, ὥσπερ ἔγχελυς

book 20.2 χρυσοῦς ἔχων κικίννους.

book 21.1 Εἰ μὴ δικῶν

book 21.2 τε γύργαθος

book 21.3 ψηφισμάτων

book 21.4 τε θωμός.

book 22.1 Εἰς τὰς

book 22.2 τριήρεις δεῖν ἀναλοῦν

book 22.3 ταῦτα καὶ τὰ τείχη, εἰς οἷ’ ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα.

book 23.1 Ἔσειον, ᾔτουν

book 23.2 χρήματ’, ἠπείλουν, ἐσυκοφάντουν.

book 25 Εἰ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλᾳέτω.

book 26.1 Ὁ δ’ ἡλιαστὴς εἶρπε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 26.2 πρὸς τὴν κιγκλίδα.

book 27 Τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει.

book 28 Ἀπόλωλα· τίλλων τὸν λάγων ὀφθήσομαι.

book 29 Οὐδ’ ἐστὶν αὐτῷ στλεγγὶς οὐδὲ λήκυθος.

book 30 Οὐδ’ ἀργύρι’ ἐστὶ κατακεκερματισμένα.

book 32 Καὶ κόσκινον ἠπήσασθαι.

book 33 Ὅτε τὰς ὀὰς * * ἴσας ἐποιήσατο,

book 1.1 Καὶ τὸν κυλλάστιν

book 1.2 φθέγγου καὶ τὸν

book 1.3 Πετόσιριν.

book 4.1 Μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, μεθ’ ὧν ὁ βωμὸς οὗτος ἱδρύθη

book 4.2 ποτέ.

book 5.1 Ἀλλ’ εἴσιθ’, ὡς τὸ πρᾶγμ’ ἐλέγξαι βούλομαι

book 5.2 τουτί· προσόζειν γὰρ κακοῦ τού μοι δοκεῖ.

book 6.1 Κακῶν

book 6.2 τοσούτων ξυνελέγη μοι σώρακος.

book 7.1 (Καὶ) δακτύλιον

book 7.2 χαλκοῦν φέρων ἀπείρονα.

book 8.1 Πρὸς τὸν

book 8.2 στροφέα τῆς αὐλείας

book 8.3 σχίνου κεφαλὴν κατορύττειν.

book 9.1 Τραπόμενον εἰς

book 9.2 τοὔψον λαβεῖν ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια.

book 10.1 Ἤδη

book 10.2 παροινεῖς ἢ ’μὲ πρὶν δεδειπνάναι.

book 11 Λύσας ἴσως ἂν τὸν λάγων ξυναρπάσειεν ἡμῶν.

book 12.1 Ὁ χορὸς δ’ ὠρχεῖτ’ ἂν ἐναψάμενος δάπιδας καὶ στρω-ματόδεσμα, Διαμασχαλίσας αὑτὸν

book 12.2 σχελίσιν καὶ φύσκαις καὶ ῥαφανῖσιν.

book 13 Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

book 14-15 Μὴ τἆρ’ εἶναί μ’ ἐγκριδοπώλην.

book 16.1 Τῶν

book 16.2 χοίρων μνοῦς ἔρι’ ἐστίν.

book 1.1 Ἐγὼ γάρ, εἴ τί ς’ ἠδίκηκ’, ἐθέλω δίκην δοῦναι

book 1.2 πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἑνί.

book 2.1 Ἀνοιγέτω

book 2.2 τις δώματ’· αὐτὸς ἔρχεται.

book 3.1 Ἀλλ’ εἰς κάδον λαβὼν

book 3.2 τιν’ οὔρει πίττινον.

book 4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πτίσσω, βράττω, μάττω, δεύω, πέττω, καταλῶ.

book 5 Χωρεῖ ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ ἄκανθαι.

book 9 Τὸ δὲ πορνεῖον Κύλλου πήρα.

book 2 Οὐδὲν μὰ Δί’ ἐρῶ λοπάδος ἑψητῶν.

book 3-5 Οἴμοι κακοδαίμων ὁ λύχνος ἡμῖν οἴχεται. Καὶ πῶς ἀπορραίσας λυχνοῦχον κἄλαθες; Ἀλλ’ ὥσπερ λύχνος ὁμοιότατα καθηῦδ’ ἐπὶ τοῦ λυχνιδίου.

book 6 Ὁ δ’ εἰς τὸ πλινθεῖον γενόμενος ἐξέτρεψε.

book 1.1 Ἀλλ’ εὔχομαι ῎γωγ’ ἑλκύσαι

book 1.2 σε τὸν ζυγόν, Ἵνα μή με

book 1.3 προσπράττωσι γραῦν οἱ φράτορες.

book 2.1 Αὐτοῖς

book 2.2 σταθμοῖς ἐξέβαλε τὰς

book 2.3 σιαγόνας.

book 3.1 Πάντες δ’ ἔνδον

book 3.2 πεταχνοῦνται.

book 1 Πόθεν τὸ φῖτυ, τί τὸ γένος, τίς ἡ σπορά;

book 2.1 Τοῖς πᾶσιν ἀνθρώποισιν Εἰρήνης φίλης

book 2.2 πιστὴ τροφός, ταμία, συνεργός, ἐπίτροπος, θυγάτηρ, ἀδελφή, πάντα

book 2.3 ταῦτ’ ἐχρῆτό μοι. Σοὶ δ’ ὄνομα δὴ τί ἐστιν; Ὅ τι; Γεωργία.Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα, Ἄσμενός ς’ ἰδὼν

book 2.4 προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

book 3.1 Τὴν δ’ ἀσπίδα ἐπίθημα τῷ φρέατι

book 3.2 παράθες εὐθέως.

book 4 Μή μοι Ἀθηναίους αἰνεῖτ’, ἢ μολγοὶ ἔσονται.

book 5.1 Ἰὼ Λακεδαίμων, τί ἄρα

book 5.2 πείσει τήμερα.

book 1 Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν.

book 2.1 Μὴ γεύεσθε δ’ ἅττ’ ἂν καταπέσῃ τῆς

book 2.2 τραπέζης ἐντός.

book 3.1 Μήτε

book 3.2 ποδάνιπτρον θύραζ’ ἐκχεῖτε μήτε λούτριον.

book 4.1 Κἀπὸ τῆς Διϊτρέφους

book 4.2 τραπέζης.

book 5.1 Οὐκ ἠγόρευον; οὗτός ἐστ’ οὐκ Ἀργόλας. Μὰ Δί’ οὐδέ γ’ Ἕλλην· ὅσον ἔμοιγε

book 5.2 φαίνεται.

book 6.1 Τρέχ’ εἰς τὸν οἶνον ἀμφορέα κενὸν λαβὼν τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον, κἄπειτα μίσθου

book 6.2 σαυτὸν ἀμφορεαφορεῖν.

book 7.1 Ὀβολῶν δεουσῶν

book 7.2 τεττάρων καὶ τῆς

book 7.3 φορᾶς.

book 8 Ἦ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

book 9 Παύσειν ἔοιχ’ ἡ παυσικάπη κάπτοντά σε.

book 10 Ἴθι δὴ λαβὼν τὸν ῥόμβον ἀνακωδώνισον.

book 1.1 Οἶνον δὲ πίνειν οὐκ ἐάσω

book 1.2 Πράμνιον, οὐ Χῖον, οὐδὲ Θάσιον, οὐ Πεπαρήθιον, οὐδ’ ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

book 3.1 Ἰχθὺς ἐώνηταί τις ἢ σηπίδιον ἢ τῶν

book 3.2 πλατειῶν καρίδων ἢ πουλύπους, ἢ νῆστις ὀπτᾶτ’, ἢ γαλεός, ἢ τευθίδες; μὰ τὸν Δί’ οὐ δῆτ’. οὐδὲ βατίς; οὐδ’ ἥμ’ ἐγώ.οὐδὲ χόρι’ οὐδὲ πῦος, οὐδ’ ἧπαρ κάπρου, οὐδὲ σχαδόνες, οὐδ’ ἠτριαῖον δέλφακος; οὐδ’ ἐγχέλειον, οὐδὲ κάραβον μέγαν γυναιξὶ κοπιώσαισιν ἐπεκουρήσατε;

book 4.1 Ὦ Ζεῦ πολυτίμηθ’, οἷον ἔπνευσεν ὁ μιαρὸς φάσκωλος εὐθὺς λυόμενός μοι

book 4.2 τοῦ μύρου καὶ βακκάριδος.

book 5.1 Ὅσα

book 5.2 περίεργ’ αὐταῖσι τῶν

book 5.3 φορημάτων ὅσοις

book 5.4 τε περιπέττουσιν αὑτὰς

book 5.5 προσθέτοις.

book 6.1 Ξυρόν, κάτοπτρον, ψαλίδα, κηρωτήν, λίτρον, προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα, ἔγχουσαν, ὄλεθρον τὸν βαθύν, ψιμύθιον, μύρον, κίσηριν, στρόφι’, ὀπισθοσφενδόνην,κάλυμμα, φῦκος, περιδέραι’, ὑπογράμματα, τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον, ζῶμ’, ἀμπέχονον, τρύφημα

book 6.2 παρυφές, ξυστίδα, χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον· τὰ μέγιστα δ’ οὐκ εἴρηκα

book 6.3 τούτων. εἶτα τί;

book 6.1 διόπας, διάλιθον, πλάστρα, μαλάκιον, βότρυν, χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας, σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα, πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια, ὑποδερίδας, ἑλικτῆρας, ἄλλα

book 6.2 πολλά θ’ ὧνοὐδ’ ἂν λέγων λῆξαι

book 6.3 τις.

book 7 Καὶ κατ’ Ἀγάθων’ ἀντίθετον ἐξευρημένον.

book 8 Ἀναβῆναι τὴν γυναῖκα βούλομαι.

book 9.1 Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι

book 9.2 τοὔνομα.

book 10.1 Σακίον, ἐν οἷσπερ τἀργύριον

book 10.2 ταμιεύεται.

book 11.1 Ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν φέροντάς

book 11.2 φασι

book 11.3 τοὺς

book 11.4 Πυλαγόρας * * * * * καὶ τὸν ἱερομνήμονα.

book 12.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὡς διά γε
book 12.2 τοῦτο
book 12.3 τοὔπος οὐ δύναμαι φέρειν
book 12.4 σκεύη
book 12.5 τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.
book 13 Οἴμοι κακοδαίμων τῆς τόθ’ ἡμέρας, ὅτε εἶπέν μ’ ὁ κήρυξ, οὗτος ἀλφάνει.
book 14.1 Τὴν
book 14.2 πτέρυγα
book 14.3 παραλύσασα
book 14.4 τοῦ χιτωνίου καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν
book 14.5 τιτθίδια.
book 15.1 Ἦν μέγα
book 15.2 τι χρῆμ’ ἔτι
book 15.3 τρυγῳδοποιομουσική, ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον λαμπρὸν ἐνομίζετ’ ἀπόνως
book 15.4 παραβεβλημένον, ἄλλα
book 15.5 τε τοιαῦθ’ ἕτερα μυρί’ ἐκιχλίζετο.
book 16.1 Μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους μήτε Χάριτας βοᾶν εἰς
book 16.2 χορὸν Ὀλυμπίας· ἐνθάδε γάρ εἰσιν, ὥς
book 16.3 φησιν ὁ διδάσκαλος.
book 17.1 Ἅμα δ’ ἠπίαλος
book 17.2 πυρετοῦ πρόδρομος.
book 1.1 Πάρες, ὤ, κατέτριβεν ἱμάτια κἄπειτά πως Φῶδας
book 1.2 τοσαύτας εἶχε τὸν
book 1.3 χειμῶν’ ὅλον.
book 2.1 Ἀλλ’ ἐστίν, ὦ πάτερ, κομιδῆ μεσημβρία, ἡνίκα γε
book 2.2 τοὺς νεωτέρους δειπνεῖν
book 2.3 χρεών.
book 3.1 Ἦ λοιδορία
book 3.2 τις ἐγένεθ’ ὑμῖν; πώμαλα· οὐδ’ εἶπον οὐδέν.
book 4 Ἐκδότω δέ τις καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.
book 5 Κοφίνους δὲ λίθων ἐκέλευες· ἡμᾶς ἱμᾶν ἐπὶ τὸν κέραμον.
book 6.1 Ἤμουν ἄγριον βάρος· ἤγειρεν γάρ
book 6.2 τοί μ’ οἶνος μὴ συμμιχθεὶς Ἀχελώῳ.
book 1.1 Λῆμνος κυάμους
book 1.2 τρέφουσα
book 1.3 τακεροὺς καὶ καλούς.
book 2.1 Ἐνταῦθα δ’ ἐτυράννευεν Ὑψιπύλης
book 2.2 πατὴρ Θόας, βραδύτατος ὢν ἐν ἀνθρώποις δραμεῖν.
book 3.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τοὺς ἄνδρας ἀπεχρήσαντο

book 3.2 τοὺς

book 3.3 παιδοσπόρους.

book 4 Ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ’ ἑστία (δέδεκται).

book 5-6.1 Οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον

book 5-6.2 πρίασθαι, οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου ὑπογάστριον.

book 7 Καὶ τὴν κρατίστην δαίμον’ ἧς νῦν θερμός ἐσθ’ ὁ βωμός.

book 9.1 Ἀλλ’ ἀρτίως κατέλιπον αὐτὴν

book 9.2 σμωμένην ἐν τῇ πυέλῳ.

book 10 Ἕως νεαλής ἐστιν αὐτὴν τὴν ἀκμήν.

book 11.1 Ἦ καρδιώττεις; ἀλλὰ πῶς

book 11.2 χρῆσται

book 11.3 ποιεῖν;

book 12.1 Πεντελίθοισί θ’ ὁμοῦ λεκάνης

book 12.2 παραθραύσμασι.

book 13.1 Αἱ γυναῖκες τὸν Δόριλλον

book 13.2 φραγνύωνται.

book 1 Τί ὦ πονηρέ μ’ ἐξορίζεις ὡσπερεὶ κλιντήριον;

book 1.1 Ἐς τὴν Πάρνηθ’ ὀργισθεῖσαι

book 1.2 φροῦδαι κατὰ τὸν Λυκά-βηττον.

book 2.1 Κείσεσθον, ὥσπερ

book 2.2 πηνίω, κινουμένω.

book 3 Μηδὲ στέψω κοτυλίσκον.

book 10.1 Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ ἁρχαὶ τὰ πρυτανεῖ’, ἀλλ’ ἔνῃ τε καὶ νέᾳ; Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι

book 10.2 παθεῖν, ἵν’ ὡς τάχιστα τὰ πρυτανεῖ’ ὑφελοίατο,διὰ τοῦτο

book 10.3 προὐτένθευσαν ἡμέρᾳ μιᾷ.

book 1.1 Ὦ μῶρε, μῶρε, ταῦτα πάντ’ ἐν τῇδ’ ἔνι Οἰκεῖν μὲν ἀργὸν αὐτὸν ἐν τῷ γηδίῳ ἀπαλλαγέντα τῶν κατ’ ἀγορὰν

book 1.2 πραγμάτων, κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,ἔπειτ’ ἀκούειν

book 1.3 προβατίων βληχωμένων, τρυγός

book 1.4 τε φωνὴν εἰς λεκάνην ὠθουμένης, ὄψῳ δὲ χρῆσθαι

book 1.5 σπινιδίοις

book 1.6 τε καὶ κίχλαις, καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια

book 1.7 τριταῖα, πολυτίμητα, βεβασανισμέναἐπ’ ἰχθυοπώλου

book 1.8 χειρὶ παρανομωτάτη.

book 2 Τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ; Αἱδὶ κατ’ αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

book 3 Ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

book 4 Λέξεις ἄρα ὥσπερ τὰ παιδί’, ἔξεχ’ ὦ φίλ’ ἥλιε.

book 5 Ἀλλ’ οὐ τυγχάνει ἐπίδημος ὤν.

book 6.1 Καταλιπὼν

book 6.2 Παναίτιον πίθηκον.

book 7-9.1 Θλαστὰς

book 7-9.2 ποιεῖν ἐλάας. Οὐ ταὐτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα. Θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστ’ ἤ γ’ ἁλμάδας.

book 1 Πρώην ἐρανιστὰς ἑστιῶν ἤψης’ ἔτνος.

book 2-5 Ἀλλ’ ἱμάντα μοι Δὸς καὶ ζμινύην· ἐγὼ γὰρ εἶμ’ ἐπὶ ξύλα.

book 6 Ἐπεὶ δ’ ἐγενόμην οἶπερ ᾗ’ ἐπὶ ξύλα.

book 7 Λόγχαι δ’ ἐκαυλίζοντο καὶ ξυστὴ κάμαξ.

book 8-9 Ποῖ δὴ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

book 10.1 Δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου τὸν κάτω

book 10.2 σπατάγγην.

book 11.1 Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ’ ἐκλέγει τ’ ἀεὶ ἐκ

book 11.2 τοῦ γενείου τὰς

book 11.3 πολιάς.

book 12 Παῖδες ἀγένειοι, Στράτων καὶ Κλεισθένης.

book 13.1 Ἔστι

book 13.2 τις

book 13.3 πονηρὸς ἡμῖν

book 13.4 τοξότης

book 13.5 συνήγορος εὐρύπρωκτος ὥσπερ Εὔαθλος

book 13.6 παρ’ ὑμῖν

book 13.7 τοῖς νέοις.

book 14.1 Καὶ κολλύραν

book 14.2 τοῖσι

book 14.3 περῶσιν διὰ τοὺν Μαραθῶνι

book 14.4 τρο-παῖον.

book 15 Ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴρας, σε-μίδαλιν.

book 16 Σκαφίδας, μάκτρας, Μοσσυνικὰ μαζονομεῖα.

book 17 Σπυρὶς οὐ μικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττονταςἐγείρει.

book 18 Σκόμβροι, κολίαι, λεβίαι, μύλλοι, σαπέρδαι, θυννίδες.

book 19.1 Ὦ κακοδαίμων, ὅστις ἐν ἅλμῃ πρῶτον

book 19.2 τριχίδων ἀπεβάφθη.

book 20.1 Ἰὼ Λακεδαῖμον, τί ἄρα

book 20.2 πείσει τήμερα;

book 21.1 Ἁλμαίαν

book 21.2 πιών.

book 2

Ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.

book 3.1 Ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον

book 3.2 πρὸς μυρρίνην, ὁ δ’ αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

book 4 Ἀπεσημηνάμην τὰς τῶν κακούργων οἰκίας.

book 5.1 Ἢν γὰρ ἕν’ ἄνδρ’ ἄδικον σὺ διώκης, ἀντιμαρτυροῦσι δώδεκα

book 5.2 τοῖς ἑτέροις ἐπισίτιοι.

book 6 Κεφαλάς τ’ ἀρνῶν κωλᾶς τ’ ἐρίφων.

book 7 Χαλκώματα, προσκεφάλαια.

book 8 Βαλανεὺς δ’ ὠθεῖ ταῖς ἀρυταίναις.

book 1.1 Τῶν λαμπαδηφόρων

book 1.2 τε πλείστων αἰτίαν

book 1.3 πλατειῶν

book 1.4 τοῖς ὑστάτοις.

book 1.1 Γυναῖκα δὲ ζητοῦντες ἐνθάδ’ ἥκομεν, ἥν

book 1.2 φασιν εἶναι

book 1.3 παρὰ σέ.

book 1.1 Τὸ γὰρ

book 1.2 φοβεῖσθαι τὸν θάνατον λῆρος

book 1.3 πολύς. Πᾶσιν γὰρ ἡμῖν

book 1.4 τοῦτ’ ὀφείλεται

book 1.5 παθεῖν.

book 2.1 Ἰδοὺ δίδωμι τήνδ’ ἐγὼ γυναῖκά σοι

book 2.2 Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ’ ἥξειν ἄγων.

book 3.1 Διὰ τῆς ἀγορᾶς

book 3.2 τρέχων, ἀναρίστητος ὤν.

book 4 Ἐλλιμενίζεις ἢ δεκατεύεις.

book 1 Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης.

book 2.1 Ἐγευσάμην

book 2.2 χορδῆς ὁ δύστηνος τέκνων· πῶς ἐσίδω ῥύγχος

book 2.3 περικεκαυμένον;

book 3.1 Οἴμοι τάλας, τί μου

book 3.2 στρέφει τὴν γαστέρα; βάλλ’ ἐς κόρακας. πόθεν ἂν λάσανα γένοιτό μοι;

book 4.1 Κάμνοντα δ’ αὐτὸν

book 4.2 τοῦ θέρους ἰδών

book 4.3 ποτε ἔτρωγ’, ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

book 5.1 Τί οὐκ ἐκέλευσας

book 5.2 παραφέρειν τὰ ποτήρια;

book 6 Ὥρα βαδίζειν μοὐστὶν ἐπὶ τὸν δεσπότην· ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

book 7.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ δ’ ἀλφίτων γε

book 7.2 πριάμενος

book 7.3 τρεῖς

book 7.4 χοίνικας κοτύλης δεούσας εἴκοσ’ ἀπολογίζεται.

book 1-3.1 Λήκυθον τὴν ἑπτακότυλον, τὴν

book 1-3.2 χυτραίαν, τὴν καλήν, ἣν ἐφερόμην, ἵν’ ἔχοιμι

book 1-3.3 συνθεάτριαν.

book 4.1 Χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ, τοὺς νοῦς δ’ ἀγοραίους ἧττον ἢ ’κεῖνος

book 4.2 ποιῶ.

book 5 Καὶ μὴν ἄκουσον, ὦ γύναι, θυμοῦ δίχα καὶ κρῖνον αὐτὴ μὴ μετ’ ὀξυρεγμίας.

book 6 Ἀλλ’ ἔχουσα γαστέρα μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.

book 7.1 Καὶ τῶν

book 7.2 πλατυλόγχων διβολίαν ἀκοντίων.

book 8.1 Καὶ τῶν

book 8.2 πλατυλόγχων, ὡς ὁρᾷς, ἀκοντίων.

book 9 Τὴν πόρδαλιν καλοῦσι τὴν κασαλβάδα.

book 10.1 Τὴν κακκάβην γὰρ κᾶε

book 10.2 τοῦ διδασκάλου.

book 11.1 Οὐ γὰρ σῶς ἀντέλεγες

book 11.2 τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι.

book 1.1 Καὶ μὴν πόθεν

book 1.2 Πλούτων γ’ ἂν ὠνομάζετο, εἰ μὴ τὰ βέλτιστ’ ἔλαχεν; ἓν δέ σοι

book 1.3 φράσω, ὅσῳ τὰ κάτω κρείττω ’στὶν ὧν ὁ Ζεὺς ἔχει. ὅταν γὰρ ἱστᾷς, τοῦ ταλάντου τὸ ῥέπονκάτω βαδίζει, τὸ δὲ κενὸν

book 1.4 πρὸς τὸν Δία.* * * * Οὐδ’ ἄν

book 1.5 ποθ’ οὕτως ἐστεφανωμένοι νεκροὶ προὐκείμεθ’, οὐδ’ ἂν κατακεχριμένοι μύροις, εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει· διὰ ταῦτα γάρ

book 1.6 τοι καὶ καλοῦνται μακάριοι·

book 1.1 πᾶς γὰρ λέγει

book 1.2 τις, ὁ μακαρίτης οἴχεται, κατέδαρθεν, εὐδαίμων, ὅτ’ οὐκ ἀνιάσεται. καὶ θύομέν γ’ αὐτοῖσι

book 1.3 τοῖς ἐναγίσμασιν ὥσπερ θεοῖσι καὶ χοάς γε

book 1.4 χεόμενοι αἰτούμεθ’ αὐτοὺς τὰ καλὰ δεῦρ’ ἀνιέναι.

book 2 Ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις ἀποχρῶσαν ἤδη.

book 3 Τοῦτον τὸν ἄνδρ’ ἢ βιβλίον διέφθορεν ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

book 4.1 Τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν; Τὰ Θετταλικὰ μὲν

book 4.2 πολὺ καπανικώτερα.

book 5.1 Τί οὖν

book 5.2 ποιῶμεν; χλανίδ’ ἐχρῆν λευκὴν λαβεῖν· εἶτ’ ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 6.1 Ἐρείδετον, κἀγὼ κατόπιν

book 6.2 σφῷν ἕψομαι.

book 7 Οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὗ ἀπελάγχανεν.

book 8 Λαμβάνετε κόλλαβον ἕκαστος.

book 9.1 Ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ τὰ λιπαρὰ κάπτων. ἀλλὰ φέρεθ’ ἡπάτιον, ἢ καπριδίου νέου κόλλοπά τιν’· εἰ δὲ μή, πλευρόν, ἢ γλῶτταν, ἢ σπλῆνά γ’ ἢ νῆστιν, ἢ δέλφακος ὀπωρινῆςἠτριαίαν φέρετε δεῦρο μετὰ κολλάβων

book 9.2 χλιαρῶν.

book 10 Μηδὲ τὰ Φαληρικὰ τὰ μικρὰ τάδ’ ἀφύδια.

book 11.1 Τὸ δ’ ἔτνος

book 11.2 τοὐν

book 11.3 ταῖς κυλίχναις

book 11.4 τουτὶ θερμὸν καὶ τοῦτοπαφλάζον.

book 12 Ὡς οὐψώνης διατρίβειν ἡμῶν ἄριστον ἔοικεν.

book 13.1 Ὁ δὲ λύων κύστιν ὑείαν κἀξαιρῶν

book 13.2 τοὺς Δαρεικούς.

book 14-15.1 Χθονίας Ἑκάτης

book 14-15.2 σπείρας ὄφεων ἐλελιζομένης. τί καλεῖς Ἑκάτην τὴν Ἔμπουσαν;

book 16.1 Φέρε

book 16.2 παῖ ταχέως κατὰ χειρὸς ὕδωρ, παράπεμπε τὸ χειρόμακτρον.

book 17 Ὑποπεπώκαμεν γάρ, ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

book 18.1 Ἀπασκαρίζειν ὡσπερεὶ πέρκην

book 18.2 χαμαί.

book 1-2.1 Ὡς ἄν

book 1-2.2 τις ἂν οὖν ᾖ, τί ποιήσας, ὦ Τελεμησσεῖς; φέρε δὴ τοίνυν

book 1-2.3 ταῦθ’ ὅταν ἔλθῃ, τί ποιεῖν

book 1-2.4 χρή μ’, ὦΤελεμησσεῖς.

book 3.1 Οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν

book 3.2 τρόπον ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν

book 3.3 πραγμάτων.

book 5.1 Τράπεζαν ἡμῖν εἴσφερε

book 5.2 τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ ’χέτω. Καὶ πόθεν ἐγὼ τρίπουν

book 5.3 τράπεζαν λήψομαι;

book 6.1 Οἴνου

book 6.2 τε Χίου

book 6.3 στάμνον ἥκειν καὶ μύρον.

book 7 Πινακίσκον ἄπυρον ἰχθυηρόν.

book 8.1 Μεταπέμπου νῦν

book 8.2 ταῦτα

book 8.3 σπουδῇ καὶ μύρον, εὕρημα Με-τάλλου.

book 1 Λάβεσθε· καὶ γάρ ἐσθ’ ὁμοῦ.

book 2.1 Ἔπειθ’ ὅσοι

book 2.2 παρῆσαν ἐπίσημοι ξένοι ἐπηκολούθουν κἠντιβόλουν

book 2.3 προσκείμενοι, ὅκως ἔχων τὸν

book 2.4 παῖδα

book 2.5 πωλήσει ’ς Χίον, ἕτερος δ’ ὅκως ἐς Κλαζομενάς, ἕτερος δ’ ὅκωςεἰς Ἔφεσον, * * * * οἱ δ’ εἰς Ἄβυδον· ἦν δ’ ἐκεῖνα πάνθ’ ὁδῷ.

book 4.1 Ἤιτουν

book 4.2 τι τὰς γυναῖκας ἀργυρίδιον.

book 5.1 Ἀλαβαστροθήκας

book 5.2 τρεῖς ἔχουσαν ἐκ μιᾶς.

book 6.1 Ἔπειτ’ ἐπὶ τοὔψον ἧκε τὴν

book 6.2 σπυρίδα λαβὼν καὶ θυλακίσκον καὶ τὸ μέγα βαλάντιον.

book 7 Καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς.

book 8.1 Ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία

book 8.2 ταυτί.

book 9-10.1 Μανθάνοντες

book 9-10.2 τοὺς Ἴβηρας

book 9-10.3 τοὺς Ἀριστάρχου πάλαι. Τοὺς Ἴβηρας, οὓς

book 9-10.4 χορηγεῖς μοι, βοηθῆσαι δρόμῳ.

book 1.1 Ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω, Ἄρης κατέσκηψ’, ἔς

book 1.2 τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν.

book 2.1 Στίλβη θ’ ἣ κατὰ νύκτα μοι

book 2.2 φλόγ’ ἀνασειράζεις ἐπὶ τῷ λυχνείῳ.

book 3 Καὶ τὸν ἱμάντα μου ἔχουσι καὶ τἀνάφορον.

book 4.1 Εἰκὸς δή που

book 4.2 πρῶτον ἁπάντων ἴφυα φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας.

book 1.1 Ὄψει δὲ χειμῶνος μέσου

book 1.2 σικυούς, βότρυς, ὀπώραν, στεφάνους ἴων * * * κονιορτὸν ἐκτυφλοῦντα. αὑτὸς δ’ ἀνὴρ

book 1.3 πωλεῖ κίχλας, ἀπίους, σχαδόνας, ἐλάας, πῦον, χόρια, χελιδόνια, τέττιγας, ἐμβρύεια.ὑριχοὺς δ’ ἴδοις ἂν νιφόμενα σύκων ὁμοῦ τε μύρτα. ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀροῦσιν. ὥστ’ οὐκ ἔτ’ οὐδεὶς οἶδ’ ὁπηνίκ’ ἐστὶ τοὐνιαυτοῦ. * * μέγιστον ἀγαθόν, εἴπερ ἔστι δι’ ἐνιαυτοῦ ὅτου

book 1.4 τις ἐπιθυμεῖ λαβεῖν. κακὸν μὲν οὖν μέγιστον.

book 1.1 εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ’ ἂν ἐδαπανῶντο. ἐγὼ δὲ τοῦτ’ ὀλίγον

book 1.2 χρόνον φύσας ἀφειλόμην ἄν. κἄγωγε

book 1.3 ταῖς ἄλλαις πόλεσι δρῶ ταῦτα

book 1.4 πλὴν Ἀθηνῶν· τούτοις δ’ ὑπάρχει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1.5 ταῦτ’, ἐπειδὴ τοὺς θεοὺς σέβουσιν. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς, ὡς σὺ φῄς. τιὴ τί;Αἴγυπτον αὐτῶν τὴν πόλιν

book 1.6 πεποίηκας ἀντ’ Ἀθηνῶν.

book 2.1 Ἐμοὶ κράτιστόν ἐστιν εἰς τὸ Θησεῖον δραμεῖν, ἐκεῖ δ’ ἕως ἂν

book 2.2 πρᾶσιν εὕρωμεν μένειν.

book 3.1 Τὸν

book 3.2 Φρύγα, τὸν αὐλητῆρα, τὸν

book 3.3 Σαβάζιον.

book 4 Διέφθορας τὸν ὅρκον ἡμῶν.

book 1.1 Τὴν γυναῖκα δὲ αἰσχύνομαι τώ τ’ οὐ φρονοῦντε

book 1.2 παιδίω.

book 2.1 Ὁ δ’ αὖ Σοφοκλέους

book 2.2 τοῦ μέλιτι κεχρισμένου ὥσπερ καδίσκου

book 2.3 περιέλειχε τὸ στόμα.

book 3.1 Ἐγὼ διὰ ταῦτα, μὴ γέλων ὄφλων λάθω, περὶ τὴν κεφαλὴν ἐξήμμεθα

book 3.2 πηνίκην

book 3.3 τινά.

book 4.1 Κηφισοφῶν ἄριστε καὶ μελάντατε· σὺ δὲ ξυνέζης εἰς τὰ πόλλ’ Εὐριπίδῃ, καὶ συνεποίεις, ὥς

book 4.2 φασι, τὴν μελῳδίαν.

book 5-6.1 Τοῖσι

book 5-6.2 χοροῖς αὐτὸς τὰ σχήματ’ ἐποίουν. Τοὺς

book 5-6.3 Φρύγας οἶδα θεωρῶν, ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν

book 5-6.4 παῖδ’ ἦλθον

book 5-6.5 τεθνεῶτα, πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο

book 5-6.6 σχηματίσαντες.

book 7.1 Ὅστις ἐν ἡδυόσμοις

book 7.2 στρώμασι

book 7.3 παννυχίζων τὴν δέσποιναν ἐρείδεις.

book 8.1 Ἐν

book 8.2 τοῖς ὄρεσιν δ’ αὐτομάτοισιν τὰ μιμαίκυλ’ ἐφύετοπολλά

book 9.1 Ἄγε νυν τὰς ἀμυγδαλᾶς λαβὼν

book 9.2 τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.

book 10 Ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσίν.

book 11.1 Ἀλλ’ ὦ Δελφῶν

book 11.2 πλείστας ἀκονῶν

book 11.3 Φοῖβε μαχαίρας, καὶ προδιδάσκων

book 11.4 τοὺς

book 11.5 σοὺς

book 11.6

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπόλους.

book 12.1 Λάβραξ ὁ πάντων ἰχθύων

book 12.2 σοφώτατος.

book 13 Ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.

book 14 Πικρότατον οἶνον τήμερον πίει τάχα.

book 15.1 Τὸ δ’ αἶμα λέλαφας

book 15.2 τοὐμὸν ὦναξ δέσποτα.

book 16 Οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων.

book 17.1 Ἐκφέρετε

book 17.2 πεύκας κατ’ Ἀγάθωνα

book 17.3 φωσφόρους.

book 18 Ἐχθρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

book 19.1 Βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤν, χωρίς

book 19.2 τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

book 20-21.1 Πυθοῦ χελιδὼν

book 20-21.2 πηνίκ’ ἄττα

book 20-21.3 φαίνεται. Ὁπηνίκ’ ἄτθ’ ὑμεῖς κοπιᾶτ’ ὀρχούμενοι.

book 22.1 Ἄλλαι δὲ κυαμίζουσιν αὐτῶν * * πρὸς ἄνδρας εἰσὶν ἐκπετήσιμοι

book 22.2 σχεδόν.

book 23.1 Λούσησθε καὶ κτενίσησθε

book 23.2 πρὸς τὸν ἥλιον.

book 24.1 Ἵνα μὴ καταγῇς τὸ σκάφιον

book 24.2 πληγεὶς ξύλῳ.

book 25 Ἵνα ξυνῶσιν ᾧπερ ἥδεσθον βίῳ, σκώληκας ἐσθίοντε καὶ μυλακρίδας.

book 26 Ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον.

book 27-28.1 Φθέγξαι σὺ τὴν

book 27-28.2 φωνὴν ἀναστήσας ἄνω. Φθέγμα κεκράτηκε.

book 29 Τί τὸ κακόν; ἀλλ’ ἦ κοκκύμηλ’ ἠκρατίσω;

book 30.1 Τὸν

book 30.2 Πειραιᾶ δὲ μὴ κεναγγίαν ἄγειν.

book 31.1 Τὸν

book 31.2 σαπέρδην ἀποτῖλαι

book 31.3 χρή, καὶ καταπλῦναι κἆτ’ ἐκπλῦναι καὶ διαπλῦναι.

book 32 Χορδαί, φύσκαι, πάσται, ζωμοί, χόλικες.

book 33 Πολφοὺς δ’ οὐχ ἧψον ὁμοῦ βολβοῖς * * * * * ἵν’ ἐπαγλαΐσῃ τὸ παλημάτιον καὶ μὴ βήττων καταπίνῃ.

book 34.1 Ἤ τις κύους’ ἐφάνη κύος

book 34.2 τοσουτονί.

book 35 Ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 36 Τὴν χύτραν, ἐν ᾗ τὰ κρεάδι’ ἧψες ἐζωμευμένα.

book 37 Ἀνήσεις κροκύδα μαστιγουμένην.

book 38 Ἀλλὰ τὸ στρόφιον λυθὲν τὰ κάρυά μοὐξέπιπτεν.

book 39.1 Πλὴν εἴ τις

book 39.2 πρίαιτο δεόμενος βασκάνιον ἐπὶ κάμινον ἀνδρὸς

book 39.3 χαλκέως.

book 40.1 Ὥστ’ ἀνακῦπτον καὶ κατακῦπτον

book 40.2 τοῦ σχήματος οὕνεκα

book 40.3 τοῦδε κηλώνειον

book 40.4 τοῖς κηπουροῖς.

book 42.1 Κιρνάντες γὰρ τὴν πόλιν ἡμῶν κοτυλίζετε

book 42.2 τοῖσι πένησιν.

book 43 Οὐκ εἶ λαβὼν θύραζε τὰ ψηφίσματα καὶ τὴν ἀνάγκην ἐς κόρακας ἐντευθενί;

book 44 Εἰκοβολοῦντες καὶ πλάττοντες.

book 45 Τὸ παραπέτασμα, τὸ Κίπριον, τὸ ποικίλον.

book 46-47 Ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται. Ὥστ’ ἔγωγ’ ηὑαινόμην θεώμενος.

book 48 Τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας.

book 49.1 Τὸ πρᾶγμα

book 49.2 τοῦτο

book 49.3 συλλαβεῖν ὑπίσχομαι.

book 50 Ἔφευγε, κἀγὼ τῆς ὑπαντὰξ εἰχόμην.

book 51 Οὔκουν μ’ ἐάσεις ἀναμετρήσασθαι τάδε;

book 52 Ἐγὼ δ’ ὑπερῶ τὸν ὅρκον.

book 53-54.1 Εἴ τις κολακεύει

book 53-54.2 περιιὼν καὶ τὰς κροκύδας ἀφαιρῶν.

book 55.1 Δεξιὸν εἰς ὑποδήματ’, ἀριστερὸν εἰς

book 55.2 ποδάνιπτρα.

book 56 Ὑπὸ τοῦ γέλωτος εἰς Γέλαν ἀφίξομαι.

book 57 Τί δῆτα δράσω ς’, ὦ κακόδαιμον, ἀμφορεὺς ἐξοστρακισθείς;

book 58 Σὺ δ’ ὁμέστιος θεοῖς; πόθεν;

book 59 Ἐξηκεστίδης ἔχων λύραν, ἔργον Εὐδόξου, τιταίνει ψίθυρον εὐήθη νόμον.

book 60 Χωρεῖ ’πὶ γραμμὴν λορδὸς ὡς εἰς ἐμβολήν.

book 61 Ὃς τὰ μὲν ἀφανῆ μεριμνᾷ, τὰ δὲ χαμᾶθεν ἐσθίει.

book 62 Οὐχ ὅ τι ἐκεῖνος ἔλαχεν. οἰμώζων κάθου.

book 63 Ὁ δ’ ἔχων θέρμα καὶ πῦρ ἧκε.

book 64 Σὺ δ’ οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.

book 65.1 Οὕτως

book 65.2 τι τἀπόρρητα δρᾶν ἐτημέλει.

book 66.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γίγνωσκε τὸν ἄλεισόν
book 66.2 τε καὶ τὰ γράμματα.
book 67 Ὁρῶ γὰρ ὡς ὄμφακα διασαυλούμενον.
book 68-69.1 Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες. Ἐκβαίνετον τὸν
book 68-69.2 πατέρα
book 68-69.3 τοῖς ὀρχήμασι.
book 70.1 Καὶ τῶν
book 70.2 πρὸς εἵλην ἰχθύων ὠπτημένων.
book 71.1 Ἴκτινα
book 71.2 παντόφθαλμον ἅρπαγα
book 71.3 στρέφων.
book 72 Οἶμαι γὰρ αὐτὸν κόλλοπι ἐοικέναι.
book 73 Ποῖ κῆχος; εὐθὺ Σικελίας.
book 74.1 Μέλαινα δεινὴ γλῶσσα Βρεττία
book 74.2 παρῆν.
book 75 Ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.
book 76-77 Οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη. Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος.
book 78.1 Ἐνδὺς τὸ γυναικεῖον
book 78.2 τοδὶ χιτώνιον.
book 79.1 Ἑστῶτας ὥσπερ
book 79.2 τοὺς ὀρεωκόμους ἄθρους.
book 80.1 Πόθεν δ’ ἐγώ σοι
book 80.2 συγγενὴς ὦ φαρμακέ;
book 81 Ἄκων κτενῶ ς’, ὦ τέκνον, ὁ δ’ οὖν ὑπεκρίνετο, ἐπὶ Παλλαδίῳ τἄρ’, ὦ πάτερ, δώσεις δίκην.
book 82.1 Καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα
book 82.2 φωσφόρου γενήσομαι.
book 83 Ψελλόν ἐστι καὶ καλεῖ τὴν ἄρκτον ἄρτον, τὴν δὲ Τυρὼ τροφαλίδα, τὸ δ’ ἄστυ σῦκα.
book 84 Εἶτα δὴ εἰς τὴν πόλιν ἄξεις τήνδε τὴν ὀνώνιδα;
book 85.1 Λίθος
book 85.2 τις ὤζησεν
book 85.3 τεθυμιαμένος.
book 86 Ὤιμην δ’ ἐγὼ τὸν Κυκλοβόρον καθιέναι.
book 87.1 Καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες
book 87.2 στύππαξ.
book 88 Ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων.
book 89 Καὶ στρεψίμαλλος τὴν τέχνην Εὐριπίδης.
book 90.1 Οὔτε νύκτωρ
book 90.2 παύεται οὔθ’ ἡμέραν.
book 91.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ πρός γε
book 91.2 τούτοις ἥκετον
book 91.3 πρέσβη δύο.
book 92 Σφοδελὸν ἐν χύτραισι μεγάλαις ἑψόμενον.
book 93 Ἑκτεὺς δέ γ' ἐστὶν ἑξαχοίνικον μέτρον.
book 96.1 Ἀλοᾶν
book 96.2 χρὴ τὰς γνάθους.
book 97.1 Φράζε
book 97.2 τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.
book 98 Διάλεκτον ἔχοντα μέσην πόλεως οὔτ' ἀστείαν ὑποθηλυτέραν οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν.
book 99 Δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.
book 100.1 Ἀλλ' εἰς ἥρων
book 100.2 τι παρήμαρτον.
book 101.1 Σικύους ἐνθάδε
book 101.2 πη φυομένους οὐδενὶ κόσμῳ περιόντες, κᾆτ' ἤσθιον.
book 102.1 Αὐτὸς δείξας ἕν θ' ἁρμονίαις
book 102.2 χιάζων ἢ σιφνιάζων.
book 103.1 Οὐκ ἔσται, κενέβρειον ὅταν θύσῃς
book 103.2 τι, καλεῖν με.
book 104 Τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον ἀδικομηχάνῳ τέχνῃ;
book 105 Τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν.
book 106 Ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ καναβευμάτων.
book 107 Θύτην μέλλει καὶ κελεύει βῆ λέγειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org